eul_wid: tyc-bj

*Ζώσιμος ὁ Πανοπολίτης* · Zosimus of Panopolis

# On the Philosopher's Stone

## *Περὶ τοῦ λίθου τῆς φιλοσοφίας*


**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise


[15] ΠΕΡΙ ΤΟΥ ΛΙΘΟΥ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ Η Μαρία φησίν· «Ἐὰν ὁ μόλυβδος ἡμῶν μέλας γένηται, ἰδοὺ γεγένηται· ὁ γὰρ μόλυβδος ὁ κοινὸ ἐξ ἀρχῆς μέλας ἐστίν· πῶς γὰρ γένηται; ἐὰν μὴ τὰ σώματα ἀσωματώσης, καὶ τὰ ἀσώματα σωματώσης καὶ ποιήσης τὰ δύο ἓν, οὐδὲν τὸ προσδοκώμενόν ἐστιν. Καὶ ἐὰν μὴ τὰ πάντα ἐν τῷ πυρὶ ἐκλεπτυνθῇ, καὶ ἡ αἰθάλη πνευματωθεῖσα βασταχθῇ, οὐδὲν εἰς πέρας βασταχθήσεται». Καὶ πάλιν· «οὐχ ἁπλῶς λέγω, φησὶν, ἀλλὰ μολύβδῳ μέλανι τῷ ἡμῶν. Ἰδοὺ γὰρ ὅλως σκευάζουσιν μέλανα μόλυβδον· ὡς γὰρ ἡπτημένον μετὰ κοινὸν μόλυβδόν ἐστιν· Ὁ γὰρ μόλυβδος μὲν ὁ κοινὸς ἐξ ἀρχῆς μέλας ἐστὶν, ὁ δὲ ἡμέτερος γίνεται μέλας, μὴ ὄντος αὐτοῦ πρότερον.» Ὅτι πάντα οἱ φιλόσοφοι τὰ ἔργα τοῦ λίθου εἰς δʹ διῄρουν· πρῶτον μελάνωσιν, δεύτερον λεύκωσιν, τρίτον ξάνθωσιν, καὶ τέταρτον ἴωσιν· μεταξὺ δὲ μελάνσεως καὶ λευκώσεως καὶ ξανθώσεως ἐστιν ἡ χοωποίησις, ἤτοι ἡ ταριχεία, καὶ τῶν εἰδῶν ἡ πλύσις. [15]

2 199 Ἀδύνατον δὲ ταῦτα γενέσθαι πλὴν διὰ τοῦ ὀργάνου τοῦ μασθωτοῦ οἰκονομίᾳ, καὶ τῆς ἑνώσεως τῶν μορίων. Πελάγιος ὁ φιλόσοφός φησιν· «Σημείωσις οὖν ἐστιν ἀρχομένης ἰώσεως, εἰ δὲ ἐντὸς γενομένη ἴωσις, αὕτη ἐστὶν ἡ ἀληθινὴ ἴωσις, ἥτις καὶ ἰὸς χρυσὸς ἑρμηνεύθη, ἐὰν μία τις ποιήσῃ, γίνεται, εἰ δὲ μὴ, οὐ γίνεται. Σκόπει οὖν ἵνα ἐν τῷ βάθει γίνηται· εἰ δὲ μὴ, οὐ γίνεται.» Ἀλάβαστρον τὸν πάνυ λευκότατον λίθον τὸν ἐγκέφαλον τὸν ὡς ὄζον ἔχοντα ὡς θέρμην. Τοῦτον λαβὼν, λείωσον καὶ ταρίχευσον ὄξει. Καὶ βαλὼν εἰς ὀθόνιον, καὶ μετὰ πάντων ἔγκρυψον εἰς κόπρον ἱππείαν ἢ ὀρνιθείαν ἄχρις εἴκοσιν ἡμερῶν, ὥς φησιν ὁ θεῖος Ζώσιμο ς . Ὅτι τὰ θεῖα τὰ ὄντα δύο, ἕν ἐστι σύνθημα. Δύο τοίνυν ὄντων ὑδραργύρων τὸ λευκὸν σύνθημα καὶ τὸ ὕδωρ τοῦ θείου, κατὰ τὸν Δημόκριτον · τὸ θεῖον θείῳ μιγὲν θείας ποιεῖ τὰς οὐσίας, πολλὴν ἔχοντα πρὸς ἄλληλα τὴν συγγένειαν. Συνέσιός φησιν ἐν μὲν τῆς χρυσοποιΐας 〈λόγῳ〉 · « Δημόκριτος εἶπεν· ὑδράργυρος ἡ ἀπὸ κινναβάρεως ... ἐν δὲ τῷ λευκῷ εἶπεν· ὑδράργυρον τὴν ἀπὸ σανδαράχης καὶ τὰ ἑξῆς.» Διόσκορος εἶπεν· «Καθὰ ὁ κηρὸς οἷον ἂν χρῶμα προσομιλήσῃ αὐτῷ μεταβάλλεται· τὸ αὐτὸ καὶ ἡ ὑδράργυρος μεταβάλλεται.» Ὅτι δύο ξανθώσεις εἰσὶν καὶ δύο λευκώσεις, καὶ δύο συνθέματα, ξανθὸν καὶ ὑγρὸν τουτέστιν ἐν τῷ καταλόγῳ τοῦ ξανθοῦ θοῦ βοτάνας καὶ μέταλλα, καὶ ζωμοὺς δύο, ἕνα ἐν τῷ ξανθῷ, καὶ ἕνα ἐν τῷ λευκῷ· καὶ ἐν μὲν τῷ ξανθῷ ζωμῷ, διὰ ξανθῶν βοτανῶν, οἷον κρόκου, καὶ ἐλυδρίου καὶ τῶν ὁμοίων· ἐν δὲ τῷ λευκῷ πάλιν συνθέματι, ἐν μὲν τῷ ξηρῷ πάντα τὰ λευκά, οἷον γῆν

κρητικὴν, κιμωλίαν, καὶ ὅσα τὰ τοιαῦτα· καὶ ἐν μὲν τῷ ὑγρῷ τοῦ λευκοῦ, ὅσα λευκὰ ὕδατα, οἷον ζύθου 〈καὶ〉 χυλὸς καὶ τὰ ὅμοια.

2 200 Ὀλυμπιόδωρός φησιν· «Γίνεται ἡ ταριχεία ἀπὸ μηνὸς μεχὶρ κε′ ἕως μετοπωρινῶν κε′· ὅσα ἂν δύνῃ ταριχεῦσαι καὶ πλύναι ἕως ἀφῇς αὐτὰ ἐν ἄγγεσιν ἀποκείμενα. Γίνεται δὲ ἡ ταριχεία περὶ τῆς πηλώδους γῆς, μέχρις ἂν τὸ πηλῶδες ἐξέλθῃ, καὶ εἰς ψάμμον καταλήξῃ. Ὅτι ἡ τέχνη αὕτη διὰ πυρὸς οὐ γίνεται. Ὅτι μ′ ἡμερῶν ἐστι τὸ πῦρ τῆς ὅλης τέχνης. Ὅτι οἱ ἀρχαῖοι τὴν τέχνην ἐκάλυψαν τῇ πολυπληθείᾳ τοῦ λόγου, καὶ ὀνόμασι πολλοῖς ἐκάλεσαν τὸ ὕδωρ τὸ θεῖον. Ὅτι Μαρία φησίν· «Ἐὰν μὴ τὰ πάντα τῷ πυρὶ ἐκλεπτυνθῇ, καὶ ἡ αἰθάλη πνευματωθεῖσα βασταχθῇ, οὐδὲν εἰς πέρας βασταχθήσεται.» Ὅτι ὁ χαλκομόλυβδος ἐτήσιος λίθος ἐστίν. Ὅτι τῆς ὅλης πραγματείας τὸ σκεύασμα ἐξ ἀρχῆς μέλας ἐστίν. Ὅτι ὅταν τὰ πάντα ἴδῃς σποδὸν γινόμενα, τότε νόει ὅτι καλῶς ἐσκεύασας. Τοῦτο οὖν τὸ σκωρίδιον λείωσον καλῶς, καὶ ἐξυδάτωσον καὶ ἀπόπλυνον ἑξάκις καὶ ἑπτάκις ἐν γλυκέοις ὕδασιν καθ’ ἑκάστην χωνείαν ποιῶν· πρὸς γὰρ τὴν δύναμιν τοῦ ψάμμου καὶ ἐν χωνείᾳ γίνονται. Διὰ γὰρ ταύτης τῆς ἀγωγῆς, ἤγουν τῆς πλύσεως, φησὶν ἡ Μαρί α , γλυκαίνεται τὸ σύνθημα· καὶ ἰδοὺ ἐπιστοιχειοῦται. Μετὰ γὰρ τὸ τέλος τῆς ἰώσεως, ἐπιβολῆς γινομένης τῶν ὑγρῶν, γίνεται καὶ βεβαία ξάνθωσις. Τοῦτο δὲ ποιῶν, ἐκφέρει ἔξω τὴν φύσιν τὴν ἔνδον κεκρυμμένην.

2 201 Ἔκστρεψον γὰρ, φησὶν, αὐτὴν τὴν φύσιν, καὶ εὑρήσεις τὸ ζητούμενον. Ὅτι τὰ συνθέματα δύο εἰσὶν, λεύκωσις καὶ ξάνθωσις· καὶ δύο μὲν λευκώσεις, καὶ δύο ξανθώσεις, ἤγουν μία διὰ λειώσεως, καὶ ἑτέρα δι’ ἑψήσεως. Οὐ γὰρ ἁπλῶς συλλειοῦται, ἀλλ’ ἐν τῷ δώματι ἱερατικῷ· καὶ ἐκεῖσε γίνεται λίμνη καὶ κήτη. Ὅτι ἡ Μαρία φησίν· «Ζεύξατε ἄρρενα καὶ θήλειαν, καὶ εὑρήσετε τὸ ζητούμενον.» Καὶ ἀλλαχοῦ φησιν ἡ Μαρί α· «Μὴ θέλετε ψηλαφεῖν χερσὶν, ὅτι ἐστὶν πύρινον φάρμακον.» Ὅτι τὰ δύο συνθέματα καλοῦσιν πολλοῖς ὀνόμασιν, οἷον ὕδωρ δι’ ἅλμης κ. τ. λ. Ὅτι τὰ σκεύη τῶν συνθεμάτων ὑάλινα χρὴ εἶναι, ἐπειδὴ συμπάσχει [ἐν] τῇ ἰώσει, οὐ ψηλαφῶντες χερσί· θανατηφόρος γάρ ἐστιν ὅτε ὑδράργυρος καὶ 〈ὁ〉 ἐν αὐτῷ χρυσὸς σαπῇ· ὅτι πάντων τῶν μετάλλων δηλητηριωδέστερός ἐστι. Ὅτι προκείμενόν ἐστιν ἐν τῇ καύσει πρῶτον λεύκωσις, δεύτερον ξάνθωσις. Ἐπίβαλε, φησὶ, τοῦ λευκοῦ φαρμάκου τὸ ἥμισυ, καὶ ἔσται πρῶτον, καὶ οὕτως ἕψει· τὸ γὰρ ἄλλο ἥμισυ ἐν τῇ ἰώσει τηρούμενον. Διὰ τοῦτο καὶ Ἐπιβήχιός φησιν ἄνω καὶ κάτω· «Διαμερίσατε εἰς δύο μοίρας τὸ φάρμακον». Ἔλεγεν καί· «Τὸ μὲν ἓν ἔχει ἐν ὀστρακίνῳ ἀγγείῳ, τὸ δὲ ἕτερον εἰς χαλκοῦν· δηλοῖ 〈ἀπὸ〉 τοῦ ὀστρακίνου τὴν ὄπτησιν, ἀπὸ δὲ τοῦ χαλκοῦ τὴν ἴωσιν· προεῖπεν καὶ τὴν λεύκωσιν, ἤγουν· «Καύσατε τὸν χαλκὸν ἐν δαφνίνοις ξύλοις», τουτέστιν ἐν τῷ λευκῷ συνθέματι.

2 202 Καὶ ὁ Ἀγαθοδαίμων φησίν· «Ἕψει τὸ θεῖον ὕδωρ μετὰ τῆς νεφέλης· καὶ οὕτως ἐστὶν ἡ καῦσις καὶ ἡ λεύκωσις». Καὶ πάλιν· «Τὴν προγεγραμμένην νεφέλην ἕψει ἐλαίῳ κικίνῳ, ἢ ῥεφανίνῳ, προσμίξας βραχὺ στυπτηρίας. Καὶ ὁ Ζώσιμός φησιν· « ... Χρὴ γὰρ ἀκριβῶς ἐπὶ τῆς παρούσης ἐργασίας ἀμφιβαλόμενον δι’ ὅλων τῶν τριακοσίων ἑξηκονταπέντε ἡμερῶν λούειν τὸν χαλκοῦν ἀετὸν, καὶ ἀνανεῶν, καὶ ἑξῆς δι’ ὅλης αὐτοῦ τῆς πραγματείας. Φησὶν ὁ θεῖος Σοφάρ· εἶδον κ. τ. λ. Μαγνησία ἐτυμολογεῖται ἀπὸ τοῦ μιγνύειν τὰς κράσεις ἑνώσεις συμπλοκῇ τῶν δύο. Ὅτι ὁ θεῖος Ζώσιμός φησιν· «Ἐπειδὴ ὁ Δημόκριτος ἐκεῖνος ὁ ἐμὸς ἀγαθῶς λέγει·» Δέξαι κ. τ. λ. Ὅτι ὁ Ζώσιμος ἔλεγεν· «Μὴ φοβηθῇς τὴν πολλὴν καῦσιν καὶ ἐξυδάτωσιν τῶν σωμάτων ... Ὅτι εἰσὶ μυρίαι καύσεις τοῦ χαλκοῦ, βαπτικωτέραι αὐτὸν ποιοῦσιν τὸν χαλκόν. Ἔκστρεψον τὴν φύσιν, καὶ εὑρήσεις τὸ ζητούμενον· ἡ γὰρ φύσις ἔνδον κέκρυπται· ἐκστρεφομένης δὲ τῆς φύσεως, οὐκέτι λευκὸν ὁρᾶται, κατὰ τὴν προφανεῖσαν ἐξυδραργύρωσιν, ἀλλὰ ξανθὸν κατὰ τὴν ἐπηγγελμένην τοῦ ἰοῦ ξάνθωσιν.

2 203 Καὶ ποῦ ποτέ εἰσιν οἱ λέγοντες ἀδύνατον μεταβάλλεσθαι φύσιν; Ἰδοὺ γὰρ μεταβάλλεται ἡ φύσις στερεὸν γενομένη κατὰ τὴν ποιότητα χρυσοῦ καὶ εἰς μέλαν κατασπασθήσεται. Ἐὰν γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὴ ὑγρότης τῆς ἐξυδραργυρώσεως περιελθοῦσα κατὰ τὴν γεώδη τοῦ στερεοῦ σώματος καὶ τὸ ξηρίον διαλύσεις καὶ ἐξυδατώσεις κατὰ τὴν οὐσίαν τῆς ἐξυδραγυρώσεως ποιότητα, εἰς οὐδὲν ἔσται τὸ προσδοκώμενον· ἐὰν μὴ καὶ διαλυθείη καὶ ἐξυδατωθείη, καὶ θερμανθείη δὲ, εἰς οὐδὲν ἔσται τὸ προσδοκώμενον Ἐὰν δὲ καὶ μὴ διαλυθείη καὶ θερμανθείη, περιψυχθῇ δὲ, εἰς οὐδὲν ἔσται τὸ προσδοκώμενον Ἐὰν δὲ πάντα τὰ κατὰ τὴν τάξιν ὁμοῦ κατακολούθως γένηται, ἐλπὶς καὶ ἑκβάσεως, σὺν τῇ θείᾳ προνοίᾳ, τυχεῖν [εἰς οὐδὲν ἔσται τὸ προσδοκώμενον]. Βλέπε καλῶς τὸν μὲν τῆς κυοφορίας καιρὸν μὴ ἐλάττονα τῶν ἐννέα μηνῶν, ἐπεὶ ὡς ἔκτρωμα συμβήσεται, τὸν δὲ τῆς ὀπτήσεως κατὰ πάντα, κατὰ τὰ πέταλα μὴ ἔλαττον ὡρῶν ἐννέα, ἡ τῆς κυοφορίας γὰρ τρόπος, καὶ οὕτως ἐστίν· τὸν δὲ κατὰ τὴν ἄσκησιν τοῦ φιαλοβωμοῦ καιρὸν συγκρίνῃ κατὰ τὴν ταριχείαν. Ἐπιθεωρῆσαι γὰρ ὅτι τρεῖς τρόποι τῆς ἐργασίας· εἰ μὲν ὅτι τῆς συγκράσεως πρῶτος τρόπος, καὶ κατανοήσῃς μου, ἔχει καταφυρώμενα καὶ ζυμούμενα ἐπιτεύχωος καὶ ἀλεύρου. Ὥσπερ γὰρ τὸ ὑγρὸν οὐ κατὰ τὰ μέτρα αἰθάλεται, ἀλλὰ καθόσον ἡ χρεία ἐπιζητεῖ, οὕτω καὶ ἐπὶ τοῦ συνθέματος ὀπὴν ἔχει τὸ ὀστράκινον ἄγγος, κ. τ. λ. Ὅτι αὐτός ἐστιν ὁ ἐτήσιος λίθος. Γλυκάνῃς οὖν τὸ ξηρίον, καὶ ξήρανον, στῆσον καὶ ἐξίωσον τὸ ξηρίον τοῦ χαλκάνθου μέρη γʹ, μαγνησίας μέρος ἓν, χαλκοῦ μέρος ἕν.

2 204 Ἐξίωσον τὸ ξηρίον μέρος ἕν· λείωσον ὁμοῦ ποτίζων ἐν ἡλίῳ ἀπὸ τοῦ ὄξους τοῦ λευκοῦ ἡμέρας ἑπτὰ, καὶ ὕστερον ὀπτᾶσθαι ἡμέρας δύο ἢ τρεῖς, καὶ ἐξενεγκὼν εὑρήσεις βαφέντα τὸν χρυσὸν πυρρὸν ὡς τὸ αἶμα. Αὕτη ἐστὶν ἡ κιννάβαρις τῶν φιλοσόφων, καὶ ὁ χαλκάνθρωπος χρυσός· ἀλλὰ καὶ αὐτὸ ξηρίον ποτιζόμενον ἀπεστύφη ἐν τοῖς ζωμοῖς· ἐὰν γὰρ πλεονάσῃ τὰ φῶτα, γίνεται ξανθὸν, ἀλλ’ οὐ χρησιμεύει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org